Bisetus. Γυναῖκες εἰ βούλεσθε] Ἐνταῦθα Εὐριπίδης καταμαθὼν τὸν Μνησίλοχον τοῖς ἑαυτοῦ δόλοις, καὶ τέχναις ἐκ τῆς γυναικῶν φυλακῆς ἐκφεύγειν, καὶ σωθῆναι ἀδυνατοῦντα, τέλος ἅπαν τὸ πρᾶγμα, καὶ τὴν αὐτοῦ γνώμην φανερῶς ταῖς γυναιξὶ δηλοῖ, καὶ παρ᾽ αὐτῶν εἰρήνην αἰτεῖ, ἐφ᾽ ᾧ τὸν Μνησίλοχον ὑπ᾽ αὐτῶν ἀπολυθῆναι, καὶ ἀβλαβῆ ἀφεθῆναι, αὐτὸν δὲ τὸν Εὐριπίδην εἰς τὸ λοιπὸν τὰς γυναῖκας κακολογοῦντα, λοιδοροῦντα, καὶ τοῖς αὐτοῦ δράμασιν ὑβρίζοντα παυθῆναι. ῥᾳδίως δὲ τῶν ἀξιωμά- A των, καὶ τῆς διαλλαγῆς παρὰ τῶν γυναικῶν ἔτυχεν, ἐφ᾽ ᾧτε καὶ τὸν Σκύθην τὸν Μνησιλόχου φύλακα πρὸς τοῦτο προσαγαγεῖν, καὶ πεῖσαι. ὕστερον δὲ καὶ τοῦτον τοῖς συνήθεσι δόλοις, καὶ τέχναις χρησάμενος, εἰς γραῦν μεταμορφωθείς, μετά τινων νεανίδων αὐτῇ ἀκολουθουσῶν οὐκ ἄνευ πολλοῦ τῶν θεατῶν γέλωτος ἀπῆλθεν ἀπατήσας. Ἐπικηρυκεύομαι] ἐπικηρυκεύεσθαι κυρίως λέγονται αἱ πόλεις, ὅταν κήρυκας ἐπὶ συμβάσεσι, καὶ σπονδαῖς πέμπωσι. καὶ ἐπικηρυκεία, ὅταν κήρυκες πέμπονται, ἀνοχὰς ἢ εἰρήνην αἰτησόμενοι.

Ευ. Ὅδ᾽ ἐστὶν οὑν τῇ σανίδι κηδεστὴς ἐμός.
Ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μήποτε
Κακῶς ἀκούσητ᾽, ἢν δὲ μὴ πείθησθέ μοι,
Ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
Ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
Χο. Τὰ μὲν παρ᾽ ἡμῶν ἴσθι σοι πεπεισμένα.
Τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖσαι σύ.

B EV. *Hic est quidem tabulæ alligatus socer meus,*
*Si igitur accepero hunc, nihil vnquam*
*Malè audietis: si verò non parueritis mihi,*
*Quæ domi occultè agitis, maritis*
*Ab exercitu reuersis & præsentibus vestrûm calumniabor.*
CHO. *Quæ quidem à nobis desideras, scias à te persuasa esse nobis.*
*Barbarum autem hunc ipse persuadendo moue* C
*tu.*

Bourdinus. Τῇ σανίδι] πρὸς τῇ σανίδι δεθείς. Κομίσωμαι.] ἀνακομίσωμαι. Διαβαλῶ.] ἀναγγελῶ. Ὑποικουρεῖτε.] λάθρα ποιεῖτε οἰκουροῦσαι ἐν οἴκοις μένουσαι.

Bisetus. Οὑν τῇ σανίδι] ὁ ἐν τῇ σανίδι δεθείς, ἐμός ἐστι κηδεστής. κομίσωμαι δέ, ἀπολάβω, ἀναλάβω.

Ὑποικουρεῖτε] ἃ νῦν λαθραίως συμβουλεύετε, καὶ πράττετε. διαβαλῶ δέ, μετὰ διαβολῆς, καὶ κατηγορίας φανερώσω. Πεῖσαί σύ] πεῖσον, πεῖθε. προστακτικὸν τοῦ ἀορ. α. μέσου. ὡς τύψαι, τυψάσθω. Ἀττικῶν δέ ἐστι τὸ μέσοις, καὶ παθητικοῖς ῥήμασιν ἀντὶ τῶν ἐνεργητικῶν χρῆσθαι. ἀλλ᾽ ἐνταῦθ᾽ ἴσως μέτρου χάριν, πεῖθε γραπτέον.

D

## ΕΥΡΙΠΙΔΗΣ ὡς ΓΡΑΥΣ.

Ευ. Ἐμὸν ἔργον ἐστὶν καὶ σὸν ὦ Ἐλάφιον ἅ σοι
Καθ᾽ ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποεῖν.
Πρῶτον μὲν οὖν δίελθε κἀνακόλπασον.
Σὺ δ᾽ ὦ Τερήδων ἐπαναφύσα Περσικόν.
Σκ. Τί τὸ βόμβο τοῦτο; κῶμον τίς ἀνεγείρει μοι.
Ευ. Ἡ παῖς ἔμελλε προμελετᾶν ὦ τοξότα.
Ὀρχησομένη γὰρ ἔρχετ᾽ ὡς ἄνδρας τινάς.
Σκ. Ὀρκῆσι, καὶ μελετῆσι. οὐ κωλύσ᾽ ἐγώ.
Ὡς ἐλαπρὸξ ὥσπερ ψυλλοκατακώδιο.

## EVRIPIDES vt ANVS.

EV. *Meum quidem officium est & tuum, ô Elaphion, quæ tibi*
*In itinere dixi, hæc recordari facere.*
*Primùm igitur procede ad saltandum, & succinge vestem.*
E *Tu verò ô Teredon infla Persicum in morem.*
SC. *Quisnam bombus hic est? comessationem & saltationem quis excitat mihi?*
EV. *Puella prælusura est ô Satelles,*
*Saltatura enim venit ad viros quosdam.*
SC. *Saltet & præludat, non prohibebo ego.*
*Quàm agilis, tanquam pulex super pellem & stragulum cum villis.*

Bisetus. Ἐμὸν ἔργον ἐστί] Εὐριπίδης γραὸς πρόσωπον ἐνδυσάμενος τῇ νεάνισιν, ἃς μεθ᾽ αὑτοῦ προσάγει, τὸν Σκύθην ἐξαπατήσων, ἀποφαίνει, καὶ ἐπιτάττει τί αὐτὰς ποιεῖν δέῃ. Ὦ Λάφιον, ὦ Ἐλάφιον. τοῦτο κύριον ὄνομα κόρης, ὡς καὶ τὸ Τερήδων. Τερηδὼν δὲ ὀξύτονον, σκώληξ οἰκῶν ἐν ξύλῳ. Ἡσύχιος.

Bourdinus. Ἀνακόλπασον] τὸ ἔνδυμα σοῦ ὑπόζωννυε, ὑπόσφιγγε. Ἐπαναφύσα] ἀναφύσα, ἀνάπνει κατὰ περσικὸν τρόπον. Βόμβο.] τοῦτο βόμβος ὁ κτύπος πάταγος ὥσπερ τῶν σμηνῶν βομβούντων καὶ ψοφούντων. γνώμη δ᾽ ἥδε, τίς ἐστιν βόμβος ὅστις ἀνερεθίζει μοι καὶ ἀνεγείρει τὸν κῶμον. Προμελετᾶν] προπαίζειν. Ὀρχῆσι καὶ μελετῆσι] ὀρχείσθω καὶ μελετάτω. Ἐλαπρὸς] ἐλαφρός. Ὥσπερ ψυλλοκατακώδιο] ὥσπερ ἐστὶ ψύλλα ἐν τῷ κωδίῳ, τουτέστι τῷ δέρματι μετὰ τριχῶν.

Bisetus. Κἀνακόλπισον] τουτέστι τὰς ἐσθῆτας οἱονεὶ εἴς τινα κόλπον σύλλεγε, σύστελλε, ἵνα πρὸς τὴν ὄρχησιν ᾖς ἐπιτηδειότερος. ἐν τισὶ γράφεται κἀνακόλπασον, F ἀλλὰ διεφθαρμένως. Σὺ δ᾽ ὦ Τερ.] ὦ Τερήδων, σὺ δὴ νῦν ἐπαναφύσα περσικὸν ᾆσμα. τουτέστιν, ᾆδε βαρβαρικόν τι μέλος, βαρβαρικήν τινα μολπήν, καὶ ᾠδήν, οἵαπερ ἡ τῶν Περσῶν βαρβάρων ἀνθρώπων. τὸ δὲ ἀναφυσᾶν κυρίως μὲν λέγεται περὶ τῶν σαλπικτῶν, καὶ αὐλητῶν, οἵπερ ἐν τῷ αὐτοῦ σαλπίξεσι, καὶ αὐλήσεσι τῇ φυσήσει χρῶνται, καὶ σαλπίζουσι, καὶ αὐλοῦσι φυσῶντες. νῦν δὲ τὸ ἀναφυσᾶν, ἁπλῶς δοκεῖ ληπτέον ἀντὶ τοῦ ᾄδειν, καὶ τὴν αὐτὴν ᾠδὴν πολλάκις λέγειν. ἡ γὰρ ἀνὰ πρόθεσις ἐνταῦθα τοιαύτην ᾠδῆς ἐπανάληψιν, καὶ ἀνακαίνωσιν σημαίνει. Τί τὸ βόμβο] τίς ἐστιν G ὁ βόμβος; κῶμον τίς ἀνεγείρει μοι; ὁ Σκύθης τὸν τῆς αὐλήσεως ψόφον ἀκούων ταῦτα λέγει. Προμελετᾶν] μελετᾶν, ἀσκεῖν, ἐπιμελεῖσθαι, γυμνάζεσθαι. μελέτη γάρ, ἄσκησις, ἐπιμέλεια. ὅθεν καὶ σύνθετον ῥῆμα προμελετᾶν. Ὀρκῆσι] ὀρχοῖτο, καὶ μελετῴη. οὐκ ἐγὼ κωλύσω. Ὡς ἐλαπρός] ὡς ἐλαφρός. ὥσπερ ψύλλος κατὰ τὸ κώδιον. ἐλαφρὸς, κοῦφος. ψύλλος, καὶ ἀττικῶς ψύλλα, ζῷον πᾶσι γνωτόν. κώδιον δέ, τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκευαζόμενον. καὶ τὸ τοῦ προβάτου δέρμα. Σ.